Ακαδημία Αθηνών / Academy of Athens

**πλῆθος 1.** Πλῆθος/πολλότης, great number/multitude, Ἀναξαγόρας 1.1-6 *ὁμοῦ πάντα χρήματα ἦν, ἄπειρα καὶ π λ ῆ θ ο ς καὶ σμικρότητα ... πάντα γὰρ ἀήρ τε καὶ αἰθὴρ κατεῖχεν, ἀμφότερα ἄπειρα ἐόντα· ταῦτα γὰρ μέγιστα ἔνεστιν ἐν τοῖς σύμπασι καὶ π λ ή θ ε ι καὶ μεγέθει* 4.18 *καὶ γῆς πολλῆς ἐνεούσης καὶ σπερμάτων ἀπείρων π λ ῆ θ ο ς οὐδὲν ἐοικότων ἀλλήλοις* 6.2-7 *καὶ ὅτε δὲ ἴσαι μοῖραί εἰσι τοῦ τε μεγάλου καὶ τοῦ σμικροῦ π λ ῆ θ ο ς, καὶ οὕτως ἂν εἴη ἐν παντὶ πάντα ... ἐν πᾶσι δὲ πολλὰ ἔνεστι καὶ τῶν ἀποκρινομένων ἴσα π λ ῆ θ ο ς ἐν τοῖς μείζοσί τε καὶ ἐλάσσοσι* 7 *ὥστε τῶν ἀποκρινομένων μὴ εἰδέναι τὸ π λ ῆ θ ο ς μήτε λόγῳ μήτε ἔργῳ.* || Διογένης 5.22 *ἅτε οὖν πολυτρόπου ἐούσης τῆς ἑτεροιώσιος πολύτροπα καὶ τὰ ζῷα καὶ πολλὰ καὶ οὔτε ἰδέαν ἀλλήλοις ἐοικότα οὔτε δίαιταν οὔτε νόησιν ὑπὸ τοῦ π λ ή θ ε ο ς τῶν ἑτεροιώσεων* **2.** Πλῆθος/μέγεθος mass/magnitude, Ἀναξαγόρας 2 *καὶ γὰρ ἀήρ τε καὶ αἰθὴρ ἀποκρίνεται ἀπὸ τοῦ πολλοῦ τοῦ περιέχοντος, καὶ τό γε περιέχον ἄπειρόν ἐστι τὸ π λ ῆ θ ο ς* 3.4 *καὶ ἴσον ἐστὶ τῷ σμικρῷ π λ ῆ θ ο ς, πρὸς ἑαυτὸ δὲ ἕκαστόν ἐστι καὶ μέγα καὶ σμικρόν.* Πρβλ. *πολύς.*

**πλημμέλεια.** Πλημμέλεια/ἀπρέπεια, fault, Δημόκριτος 46 *μεγαλοψυχίη τὸ φέρειν πραέως π λ η μ μ έ λ ε ι α ν.*

**πλημμελής.** Πλημμελής/ἄπρεπος, wrong/improper, Δημόκριτος 181.6 *λάθρῃ μὲν γὰρ ἁμαρτέειν εἰκὸς τὸν εἰργμένον ἀδικίης ὑπὸ νόμου, τὸν δὲ ἐς τὸ δέον ἠγμένον πειθοῖ οὐκ εἰκὸς οὔτε λάθρῃ οὔτε φανερῶς ἔρδειν τι π λ η μ μ ε λ έ ς.*

**πλούσιος** (ἀντίθ. *πένης*). Πλούσιος, rich, Δημόκριτος 283 *οὔτε οὖν π λ ο ύ σ ι ο ς ⟨ὁ⟩ ἐνδέων οὔτε πένης ὁ μὴ ἐνδέων* Ἀρχύτας 3.11 *οἱ πένητες λαμβάνοντι παρὰ τῶν δυναμένων, οἵ τε π λ ο ύ σ ι ο ι διδόντι τοῖς δεομένοις.* Πρβλ. *οἱ δυνάμενοι.*

**πλοῦτος** (ἀντίθ. *πενίη*). Πλοῦτος, wealth, Ἡράκλειτος 125a *μὴ ἐπιλίποι ὑμᾶς π λ ο ῦ τ ο ς ... Ἐφέσιοι, ἵν' ἐξελέγχοισθε πονηρευόμενοι* Δημόκριτος 77 *δόξα καὶ π λ ο ῦ τ ο ς ἄνευ ξυνέσιος οὐκ ἀσφαλέα κτήματα* 185 *κρέσσονές εἰσιν αἱ τῶν πεπαιδευμένων ἐλπίδες ἢ ὁ τῶν ἀμαθῶν π λ ο ῦ τ ο ς* 218 *π λ ο ῦ τ ο ς ἀπὸ κακῆς*

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens

*ἐργασίης περιγινόμενος ἐπιφανέστερον τὸ ὄνειδος κέκτηται* 283 *πενίη* *π λ ο ῦ τ ο ς* *ὀνόματα ἐνδείης καὶ κόρου* 284 *ἢν μὴ πολλῶν ἐπιθυμέῃς, τὰ ὀλίγα τοι πολλὰ δόξει· σμικρὰ γὰρ ὄρεξις πενίην ἰσοσθενέα* *π λ ο ύ τ ῳ* *ποιέει.* || Ἐμπεδοκλῆς 129.2 *ἦν δέ τις ἐν κείνοισιν ἀνὴρ περιώσια εἰδώς, ὃς δὴ μήκιστον πραπίδων ἐκτήσατο* *π λ ο ῦ τ ο ν,* *παντοίων τε μάλιστα σοφῶν ⟨τ'⟩ ἐπιήρανος ἔργων* 132.1 *ὄλβιος, ὃς θείων πραπίδων ἐκτήσατο* *π λ ο ῦ τ ο ν,* *δειλὸς δ', ᾧ σκοτόεσσα θεῶν πέρι δόξα μέμηλεν.*

**πλυντρίς.** Πλυντρὶς γῆ/ἀργιλῶδες χῶμα, clayish earth/clay, Μενέστωρ 6 τοιαύτην δ' εἶναι τὴν *π λ υ ν τ ρ ί δ α,* χρῶμα δ' ὑπόλευκον.

**πνεῦμα 1.** Κοσμικὴ πνοή, cosmic breath, Ἀναξιμένης 2 *οἷον ἡ ψυχὴ ... ἡ ἡμετέρα ἀὴρ οὖσα συγκρατεῖ ἡμᾶς, καὶ ὅλον τὸν κόσμον* *π ν ε ῦ μ α* *καὶ ἀὴρ περιέχει.* Πρβλ. *αἰθὴρ* **2** (συνών. *πνοιή*). Πνοὴ/φύσημα, breath/blowing, Ἐμπεδοκλῆς 84.4 *ἄψας παντοίων ἀνέμων λαμπτῆρας ἀμοργούς, οἵ τ' ἀνέμων μὲν* *π ν ε ῦ μ α* *διασκιδνᾶσιν ἀέντων, φῶς δ' ἔξω διαθρῷσκον ... λάμπεσκεν.* || Ἀρχύτας 1.32-37-42-51 *ἀλλὰ καὶ ὄκκα ἄμμες ἢ λέγοντες ἢ ἀείδοντες χρήζομές τι μέγα φθέγξασθαι καὶ ὀξύ, σφοδρῷ τῷ* *π ν ε ύ μ α τ ι* *φθεγγόμενοι ... τωὖτὸ δὲ καὶ ταῖς φωναῖς συμβήσεται· τᾷ μὲν ὑπὸ [τῶ] ἰσχυρῶ τῶ* *π ν ε ύ μ α τ ο ς* *φερομένᾳ μεγάλᾳ τε ἦμεν καὶ ὀξέᾳ ... τὸ ἐκ τῶ στόματος φερόμενον* *π ν ε ῦ μ α* ... *ὀξύτερον ἆχον ἀφίησιν ... τὸ γὰρ αὐτὸ* *π ν ε ῦ μ α* *διὰ μὲν τῶ μακρῶ τόπω ἀσθενὲς ἐκφέρεται, διὰ δὲ τῶ μείονος σφοδρὸν* **3.** Ἀὴρ/πνοὴ ἀέρος, air/breath of air, Ἐμπεδοκλῆς 100.15-21 *π ν ε ύ μ α τ ο ς* *ἐλλείποντος ἐσέρχεται αἴσιμον ὕδωρ ... ἔμπαλιν ἢ πρίν,* *π ν ε ύ μ α τ ο ς* *ἐμπίπτοντος ὑπεκθέει αἴσιμον ὕδωρ* 111.5 *παύσεις δ' ἀκαμάτων ἀνέμων μένος ... καὶ πάλιν ... παλίντιτα* *π ν ε ύ μ α τ (α)* *ἐπάξεις* **4.** Ἔμπνευση, inspiration, Δημόκριτος 18 *ποιητὴς δὲ ἅσσα μὲν ἂν γράφῃ μετ' ἐνθουσιασμοῦ καὶ ἱεροῦ* *π ν ε ύ μ α τ ο ς,* *καλὰ κάρτα ἐστίν.*

**πνοιὴ 1.** Πνοὴ/ἀνάσα, breath, Ἐμπεδοκλῆς 102 *ὧδε μὲν οὖν* *π ν ο ι ῆ ς* *τε λελόγχασι πάντα καὶ ὀσμῶν* **2** (συνών. *πνεῦμα*). Πνοὴ/φύσημα, blast of wind, Ἐμπεδοκλῆς 111.4 *παύσεις δ'*

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ